A βραχυκατάληκτον. τὸ β ἰωνικὸν τρίμετρον ἀκατάληκτον τοῦ πρώτου ποδὸς παίωνος τετάρτου. τῶν δὲ ἑξῆς διτροχαίων. τὸ γ χοριαμβικὸν δίμετρον βραχυκατάληκτον ἐκ παίωνος τετάρτου καὶ τροχαϊκῆς συζυγίας. τὸ δὲ δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου καὶ διτροχαίου. τὸ ε χοριαμβικὸν δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος τετάρτου καὶ ἰαμβικῶν συζυγιῶν, ἤτοι διϊάμβων. τὸ ς δίμετρον ἀκατάληκτον ἔχον ἄμφω τὼ πόδε ἑξασυλλάβω. τὸ ἡ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ τελευταῖον δῆλον. ἐπὶ τῷ τέλει κορωνίς. ἄλλως. εἰκότως ἔγωγ' ὦ πολλά. εἰκότως, οὐδὲν ἄλλο ἐσμὲν, ἢ κοάξ. αὐτὸ γὰρ πράττομεν ἢ εἰκότως ἀλγεῖς τὸν ὄρρον. πολυπραγμονεῖς γάρ. Ω πολλὰ πράττων.] ὦ πολυπραγμονῶν. ἢ ὅτι οὐχὶ κατὰ ἡσυχίαν ἀλγεῖ, ἀλλὰ χλευάζει αὐτούς. ἢ ὅτι καὶ εἰς ᾅδου ὑπέμεινεν ἐλθεῖν, ἢ ὦ πολλὰ περιεργαζόμενε.

B

Καὶ κεροβάτας Πάν,
Ὁ καλαμόφθογγα παίζων.
Προσεπιτέρπεται δ' ὁ φορμικτὰς Ἀπόλλων,
Ἕνεκα δόνακος, ὃν ὑπολύριον
Ἔνυδρον ἐν λίμναις τρέφω.
Βρεκεκεκὲξ, κοὰξ, κοάξ.

*Corniger ipsus Pan:*
*Calamum ita inflare doctus.*
*Sed & Apollinem afficit concentus iste:*
*Quòd ego calamum alo, lyricinibus*
*Idoneum, in paludibus.*
*Brekekekex, coax, coax.*

Σχόλια. Καὶ κεροβάτας.] εἰς τὰ κρέατα τῶν ὀρῶν βαίνων, ἢ ὁ ἐπὶ κέρατος βαίνων, ἢ ἐπειδὴ χηλὰς ἔχειν δοκεῖ τράγου. διὸ καὶ αἰγιβότην καὶ τραγοβάμονα λέγουσι. C Δίδυμος δέ φησιν, ἢ ὅτι κέρατα ἔχει, ἢ ὅτι κεροβάτης τὴν βάσιν ἔχων κερατίνην. εἴπερ ἱστορεῖται τὰ κάτω τράγου ἔχειν. ὥστε ἀπὸ τῶν ποδῶν κεροβάτης. Καλαμόφθογγα.] ἐξ οὗ ἡ σύριγξ, ὅτι οἱ ἀρχαῖοι καλάμῳ ἀντὶ κερατίου ἐχρῶντο. Σοφοκλῆς Αἰχμαλωτίσιν. ὑφηρέθη σου κάλαμος ὥσπερ λύρας. ἢ ᾔδεσαν μὲν τὸ κέρας. ἀνέφερον δὲ τῷ ὀνόματι, ἐπὶ τὴν ἀρχαίαν χρῆσιν. καὶ χορδὰς λέγομεν ἔτι νῦν τὰς ἐκ τῶν νεύρων ὅτι τὸ παλαιὸν ἐντερίναι ἦσαν. ἢ ἐπεὶ σύριγγι ἥδεται ὁ Πὰν ἢ τίς ἐστιν ἐκ καλάμων. δόνακος δὲ, τοῦ λεπτοκαλάμου, μέλος ἀποτελοῦντος τῇ τοῦ ἀνέμου συγκρούσει. ἐν εἰσθέσει δὲ κῶλα πέντε. ὧν τὰ τρία ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὸ τέταρτον δῆλον. τὸ πέμπτον χοριαμβικὸν τρίμετρον ἐξ ἐπιτρίτων βραχυκατάληκτον. φλυκταίνας δὲ τὰ τῶν χειρῶν ἐπαναστήματα ἀπὸ τοῦ κωπηλατεῖν. λείπει δὲ ἐν ταῖς χερσί.

Bisetus. Εἴσθεσις κώλων διαφόρων πέντε.

D

Δι. Ἐγὼ δὲ φλυκταίνας γ' ἔχω,
Χὠ πρωκτὸς ἰδίει πάλαι,
Κᾆτ' αὐτίκ' ἐγκύψας ἐρεῖ
Βρεκεκεκὲξ, κοὰξ, κοάξ,
Ἀλλ' ὦ φιλῳδὸν γένος παύσασθε.

Ba. *At nunc ego habeo pustulas:*
*Sudátque mihi dudum culus,*
*Et mox sonabit pendulus:*
*Brekekekex, coax, coax.*
*Ehò canorum genus desiste.*

Bisetus. Εἴσθεσις μέλους ἑτέρου μονοστροφικοῦ κώλων διαφόρων δέκα.

E

Χο. Μᾶλλον μὲν οὖν φθεγξόμεθ', εἰ δή ποτ' ἐν
Ἡλίοις ἐν ἀμέραισιν
Ἡλάμεσθα διὰ κυπείρου,
Καὶ φλέω χαίροντες ᾠδῆς
Πολυκολύμβοισι μέλεσιν.
Ἢ Διὸς φεύγοντες ὄμβρον,
Ἔνυδρον ἐν βυθῷ χορείαν
Αἰόλαν ἐφθεγξάμεσθα
Πομφολυγοπαφλάσμασι.
Βρεκεκεκὲξ, κοὰξ, κοάξ.

Ch. *At nos canemus mage nunc: si benè*
*Vnquam apricis in diebus,*
*Transiliuimus cyperum*
*Et phleum, sonantes voce*
*Bene natatos numeros.*
*Aut cum imbrem Iouis cauentes,*
*Choræam aquosam in Imo*
F *Mirè lusimus profundo,*
*Vorticum orientum sono.*
*Brekekekex, coax, coax.*

Σχόλια. Μᾶλλον μὲν οὖν.] εἴσθεσις μέλους ἑτέρου μονοστροφικοῦ ἐκ κώλων διαφόρων δέκα. ὧν τὸ πρῶτον χοριαμβικὸν τρίμετρον ἐξ ἐπιτρίτων καὶ κρητικοῦ. τὸ δεύτερον τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ τρίτον ὅμοιον τοῦ τρίτου ποδὸς τριβράχεος ἢ χορείου. τὸ τέταρτον ὅμοιον καθαρόν. τὸ πέμπτον ἐπιχοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐκ παίωνος τετάρτου καὶ χοριάμβου. τὸ ἕκτον ὅμοιον σπονδειοκατάληκτον τῷ δευτέρῳ ποδί. τὸ ἕβδομον ἰαμβικὸν δίμετρον ὑπερκατάληκτον. τὰ ἑξῆς δύο τῷ δευτέρῳ πέφυκεν ὅμοια. τὸ τελευταῖον δῆλον. ἐπὶ τῷ τέλει κορωνίς. Εἰ δή ποτ' εὐηλίοις.] ὅτι ἐν τῷ χειμῶνι φοβούμενοι ἐπιφεύγουσι καὶ ἀποσιωπῶσιν. ἐν δὲ τῷ θέρει ἄφοβοί εἰσιν. Ἡλάμεσθα.] ἐπηδήσαμεν. ὡρμήσαμεν. κύπειρος δὲ εἶδος βοτάνης. Καὶ φλέω.] φλέως λοχμῶδες φυτόν, οὗ μνημονεύει Θεόφραστος. πρόδηλον ὅτι ποτάμιός ἐστι βοτάνη ὡς βούτομον. διὸ καὶ τὸν κύπειρον προσέθηκεν, ὡς καὶ Θεόκριτος. ἔνθεν βούτομον ὀξύ, βαθεῖαν δ' ἐταμόντο κύπειρον. μέμνηται αὐτοῦ καὶ ἐν Ἀμφιαράῳ. πόθεν ἂν λάβοιμι βύσματα τὸ πρωκτοῦ φλέων. τοῦ δὲ ἡλίου λάμποντος καὶ θαυμαστῆς οὔσης αἰθρίας τὸ τῶν βατράχων γένος ἄνω καὶ G κάτω πρὸς τὰς λίμνας χωρεῖ, καὶ πρὸς τὴν γῆν ἔσθ' ὅτε ἐκφέρεται ἐπὶ κυπείρου καὶ φλέω καὶ τῶν τοιούτων βοτανῶν ἐφαλλόμενον. Ἢ Διὸς ὄμβρον φεύγοντες.] τὸν ἥλιον καὶ τὴν ἀλέαν διώκουσιν οἱ βάτραχοι. τὸν δὲ ὄμβρον φεύγουσιν. ἴσως ἐπεὶ τῶν χειμάρρων ποταμῶν πληρουμένων ἐκ τοῦ Διὸς ὄμβρου περισύρονται. Ἔνυδρον ἐν βυθῷ χορείαν.] τὴν νῆξιν χορείαν εἶπε. καὶ φθέγγεται μὲν ἐν τῷ βυθῷ. ἀλλ' ἀνέκραγεν. ἁπλούστερον δὲ εἴρηται. Πομφολυγοπαφλάσ-